Κιτιέων βασιλέα καὶ τοὺς ἐπηρμένους ἐπ᾽ αὐτοὺς συνέτριψαν αὐ-
τοὺς ἐν πολέμῳ καὶ κατεκράτησαν αὐτῶν· [6]καὶ Ἀντίοχον τὸν μέ- 6
γαν βασιλέα τῆς Ἀσίας τὸν πορευθέντα ἐπ᾽ αὐτοὺς εἰς πόλεμον
ἔχοντα ἑκατὸν εἴκοσι ἐλέφαντας καὶ ἵππον καὶ ἅρματα καὶ δύνα-
μιν πολλὴν σφόδρα, καὶ συνετρίβη ὑπ᾽ αὐτῶν, [7]καὶ ἔλαβον αὐτὸν 7
ζῶντα καὶ ἔστησαν αὐτοῖς διδόναι αὐτόν τε καὶ τοὺς βασιλεύοντας
μετ᾽ αὐτὸν φόρον μέγαν καὶ διδόναι ὅμηρα καὶ διαστολὴν [8]καὶ 8
χώραν τὴν Ἰνδικὴν καὶ Μηδίαν καὶ Λυδίαν ἀπὸ τῶν καλλίστων
χωρῶν αὐτῶν, καὶ λαβόντες αὐτὰς παρ᾽ αὐτοῦ ἔδωκαν αὐτὰς Εὐ-
μένει τῷ βασιλεῖ· [9]καὶ ὅτι οἱ ἐκ τῆς Ἑλλάδος ἐβουλεύσαντο ἐλ- 9
θεῖν καὶ ἐξᾶραι αὐτούς, [10]καὶ ἐγνώσθη ὁ λόγος αὐτοῖς, καὶ ἀπ- 10
έστειλαν ἐπ᾽ αὐτοὺς στρατηγὸν ἕνα καὶ ἐπολέμησαν πρὸς αὐτούς,
καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί, καὶ ᾐχμαλώτισαν τὰς γυ-
ναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ ἐπρονόμευσαν αὐτοὺς καὶ
κατεκράτησαν τῆς γῆς καὶ καθεῖλον τὰ ὀχυρώματα αὐτῶν καὶ κατ-
εδουλώσαντο αὐτοὺς ἕως τῆς ἡμέρας ταύτης· [11]καὶ τὰς ἐπιλοίπους 11
βασιλείας καὶ τὰς νήσους, ὅσοι ποτὲ ἀντέστησαν αὐτοῖς, κατέφθει-
ραν καὶ ἐδούλωσαν αὐτούς, μετὰ δὲ τῶν φίλων αὐτῶν καὶ τῶν
ἐπαναπαυομένων αὐτοῖς συνετήρησαν φιλίαν· [12]καὶ κατεκράτησαν 12
τῶν βασιλέων τῶν ἐγγὺς καὶ τῶν μακράν, καὶ ὅσοι ἤκουον τὸ
ὄνομα αὐτῶν, ἐφοβοῦντο ἀπ᾽ αὐτῶν. [13]οἷς δ᾽ ἂν βούλωνται βοηθεῖν 13
καὶ βασιλεύειν, βασιλεύουσιν· οὓς δ᾽ ἂν βούλωνται, μεθιστῶσιν·
καὶ ὑψώθησαν σφόδρα. [14]καὶ ἐν πᾶσιν τούτοις οὐκ ἐπέθεντο αὐ- 14
τῶν οὐδὲ εἷς διάδημα, οὐδὲ περιεβάλοντο πορφύραν ὥστε ἁδρυν-
θῆναι ἐν αὐτῇ· [15]καὶ βουλευτήριον ἐποίησαν ἑαυτοῖς, καὶ καθ᾽ ἡμέ- 15
ραν ἐβουλεύοντο τριακόσιοι καὶ εἴκοσι βουλευόμενοι διὰ παντὸς
περὶ τοῦ πλήθους τοῦ εὐκοσμεῖν αὐτούς· [16]καὶ πιστεύουσιν ἑνὶ 16
ἀνθρώπῳ ἄρχειν αὐτῶν κατ᾽ ἐνιαυτὸν καὶ κυριεύειν πάσης τῆς γῆς
αὐτῶν, καὶ πάντες ἀκούουσιν τοῦ ἑνός, καὶ οὐκ ἔστιν φθόνος οὐδὲ
ζῆλος ἐν αὐτοῖς.

[17]Καὶ ἐπελέξατο Ιουδας τὸν Εὐπόλεμον υἱὸν Ιωαννου τοῦ Ακκως 17
καὶ Ἰάσονα υἱὸν Ελεαζαρου καὶ ἀπέστειλεν αὐτοὺς εἰς Ῥώμην
στῆσαι φιλίαν καὶ συμμαχίαν [18]καὶ τοῦ ἆραι τὸν ζυγὸν ἀπ᾽ αὐτῶν, 18

5 κιτιεων S* (cf. Is. 23 12)] κιτιαιων AS$^c$: cf. Num. 24 24 Is. 23 1 | εν SV La†] > rel.: cf. 5 67 || 6 υπ S*V†] απ rel. || 7 εστησαν] + αυτον S$^c$† | διδοναι $1^0$] δουναι S*† | και paenult. ALa] > SV | ομηρον S† || 8 απο] pr. και A || 10 γης S*La] + αυτων AS$^c$ pl. | και ult. *L* La] pr. και επρονομευσαν αυτους SA: ex praec. repet. || 11 οσοι] οι S† | αντεστησαν *L* La] τ $1^0$ > SA | αυτους] -τοις A pau. | συνετηρησαν] + αυτοις A || 12 βασιλεων] -λ⟨ε⟩ιων A | ηκουσαν A || 13 βασιλευουσιν] -ευσουσιν A; pr. και S*† || 14 αυτων ουδε εις] ουδεις αυτων A | ουδε $2^0$] και ου A mu. | εν αυτη] > S*†, επ αυτη S$^c$*L* || 15 fin. εαυτους A || 16 κυριευειν > S*† || 17 επελεξατο SV†] -ξεν rel. | ακχως A | στησαι S*La†] + αυτοις rel. || 18 απ > A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1119 UNIVERSITÄT LEIPZIG